ϱοῦντα δικαστήν· κελευόντων δὲ πάντων χϱῆσθαι παϱϱησίᾳ καὶ μὴ φείδεσθαι, ‛τίς δ’ ἄν’ ἔφη ‛φείσαιτο φιλοσόφου γένεσι καὶ πλούτοις καὶ ἀϱχαῖς ὥσπεϱ θέαν | ἐν συμπο- 618
σίῳ κατανέμοντος ἢ πϱοεδϱίας ψηφισμάτων ἀμφικτυονικῶν διδόντος, ὅπως μηδ’ ἐν οἴνῳ τὸν τῦφον ἀποφύγωμεν; οὔτε γὰϱ πϱὸς τὸ ἔνδοξον ἀλλὰ πϱὸς τὸ ἡδὺ δεῖ ποιεῖσθαι τὰς κατακλίσεις, οὔτε τὴν ἑνὸς ἑκάστου σκοπεῖν ἀξίαν ἀλλὰ τὴν ἑτέϱου πϱὸς ἕτεϱον σχέσιν καὶ ἁϱμονίαν, ὥσπεϱ ἄλλων τινῶν εἰς μίαν κοινωνίαν παϱαλαμβανομένων. οὐδὲ γὰϱ ὁ οἰκοδόμος τὸν Ἀττικὸν λίθον ἢ τὸν Λακωνικὸν πϱὸ τοῦ βαϱβαϱικοῦ ⟨διὰ⟩ τὴν εὐγένειαν τίθησιν οὐδ’ ὁ ζωγϱάφος τῷ πολυτελεστάτῳ χϱώματι τὴν ἡγουμένην ἀποδίδωσι χώϱαν οὐδ’ ὁ ναυπηγὸς πϱοτάττει τὴν Ἰσθμικὴν πίτυν ἢ τὴν Κϱητικὴν κυπάϱιττον, ἀλλ’ ὡς B
ἂν ἀλλήλοις ἕκαστα συντεθέντα καὶ συναϱμοσθέντα μέλλῃ τὸ κοινὸν ἔϱγον ἰσχυϱὸν καὶ καλὸν καὶ χϱήσιμον παϱέχειν, οὕτω κατανέμουσιν. καὶ τὸν θεὸν ὁϱᾷς, ὃν ‛ἀϱιστοτέχναν’ ἡμῶν ὁ Πίνδαϱος (fr. 57) πϱοσεῖπεν, οὐ πανταχοῦ τὸ πῦϱ ἄνω τάττοντα καὶ κάτω τὴν γῆν, ἀλλ’ ὡς ἂν αἱ χϱεῖαι τῶν σωμάτων ἀπαιτῶσιν·

‛τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις βαϱυνώτοις,
ναὶ μὴν κηϱύκων τε λιθοϱϱίνων χελύων τε’

φησὶν Ἐμπεδοκλῆς (fr. 76),

‛ἔνθ’ ὄψει χθόνα χϱωτὸς ὑπέϱτατα ναιετάουσαν’

οὐχ ἣν ἡ φύσις δίδωσι χώϱαν, ἀλλ’ ἣν ἡ πϱὸς τὸ κοινὸν ἔϱγον ποθεῖ σύνταξις, ταύτην ἔχουσαν. πανταχοῦ μὲν C
οὖν ἀταξία πονηϱόν, ἐν δ’ ἀνθϱώποις, καὶ ταῦτα πίνουσιν,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415473934/21 UNIVERSITÄT LEIPZIG